7 Μαΐου 2026

# Ανάμνηση του εν τω ουρανώ φανέντος σημείου του Τιμίου Σταυρού επί Κωνσταντίου

Θέατρο, Κινηματογράφος, Ντοκυμανταίρ, TV και Διαδίκτυο / Πολυμέσα - Multimedia / Συναξαριακές Μορφές



Εορτάζει στις 7 Μαΐου εκάστου έτους.

Σταυροῦ παγέντος, ἡγιάσθη γῆ πάλαι.

Καὶ νῦν φανέντος, ἡγιάσθη καὶ πόλος.

Ἑβδομάτῃ Σταυροῖο τύπος πόλῳ ἀμφετανύθη.

Η πρώτη εμφάνιση του Τιμίου Σταυρού έγινε στο Μεγάλο Κωνσταντίνο, με το θριαμβευτικό έμβλημα της νίκης: «ἐν τούτῳ νίκα». Εδώ έχουμε μια άλλη εμφάνιση, που έγινε στην Ιερουσαλήμ, περίπου το 346 μ.Χ. Τότε αρχιεπίσκοπος Ιεροσολύμων ήταν ο Κύριλλος (18 Μαρτίου) και βασιλιάς ο Κωνσταντίνος, γιος του Μεγάλου Κωνσταντίνου.

Η εμφάνιση αυτή έγινε στις 7 Μαΐου, κατά μια των ημερών της Πεντηκοστής. Ήταν η ώρα (βυζαντινή) τρίτη, όταν ξαφνικά στον ουρανό φάνηκε ο Τίμιος και Ζωοποιός Σταυρός, σχηματισμένος από εκθαμβωτικό φως, πάνω από το Γολγοθά, μέχρι και το όρος των Ελαίων. Το υπερφυσικό αυτό θέαμα προκάλεσε μεγάλο θαυμασμό και συγκίνηση σε όλους τους ευρισκόμενους στην Ιερουσαλήμ. Νέοι και

γέροι, γυναίκες και παιδιά, όλοι μαζί, έτρεξαν στην εκκλησία και με πολλή χαρά και θερμή κατάνυξη ευχαρίστησαν και δόξασαν το Θεό, τον Κύριο μας Ιησού Χριστό, που αγίασε το ξύλο του σταυρού και κατέστησε το σημείο αυτού ισχυρότατο όπλο των αγωνιζόμενων χριστιανών κατά του διαβόλου.

**Ἀπολυτίκιον**

Ἦχος α’.

Τοῦ Σταυροῦ σου ὁ τύπος νῦν ὑπὲρ ἥλιον ἔλαμψεν, ὅνπερ ἐξ ὄρους ἁγίου, τόπῳ Κρανίου ἐφήπλωσας· καὶ τὴν ἐν αὐτῷ σου Σῶτερ ἰσχὺν ἐτράνωσας, διὰ τούτου κρατύνας καὶ τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν· οὓς καὶ περίσωζε διαπαντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

**Κοντάκιον [(Κατέβασμα)]**

Ἦχος πλ. δ’.

Ὦ τρισμακάριστε Σταυρὲ καὶ Πανσεβάσμιε, σὲ ἀνυμνῶν καὶ προσκυνῶν νῦν ἁγιάζομαι, ἐν ᾧ Χριστὸς ἀνυψούμενος κόσμον ἔσωσεν, ἀλλὰ πρόφθασον καὶ σῶσον τῇ δυνάμει σου, καὶ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε Ξύλον μακάριον.

**Ἕτερον Κοντάκιον**

Ἦχος πλ. δ’.

Ὁ διανύξας οὐρανοὺς κεκλεισμένους, ἐν οὐρανῷ περιφανεῖς τὰς ἀκτίνας, ἐπὶ τῆς γῆς ἀνέτειλεν ὁ ἄχραντος Σταυρός· ὅθεν οἱ τὴν ἔλλαμψιν, τῆς αὐτοῦ ἐνεργείας, δεξάμενοι πρὸς ἄδυτον, ὁδηγούμεθα φέγγος· καὶ ἐν πολέμοις ἔχομεν αὐτόν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

**Ὁ Οἶκος**

Ἀνοιξόν μου τὸ στόμα, Βασιλεῦ τῶν αἰώνων, καταύγασόν μου τὸν νοῦν καὶ τὰς φρένας, καὶ ἁγίασον μου τὴν ψυχήν, ἵνα ὑμνήσω Λόγε τὸ σεπτὸν ξύλον σου, κατάπεμψον τὸ Πνεῦμά σου καὶ δίδαξον με, ἵνα πόθῳ κραυγάζω.

Χαῖρε, Σταυρὲ οἰκουμένης δόξα, χαῖρε, Σταυρὲ Ἐκκλησίας κράτος.

Χαῖρε, ἱερέων προπύργιον ἄσειστον, χαῖρε, βασιλέων διάδημα τίμιον.

Χαῖρε, σκῆπτρον τοῦ παντάνακτος Δημιουργοῦ τοῦ παντός, χαῖρε, ὅτι κατεδέξατο προσπαγῆναί σοι Χριστός.

Χαῖρε, τῶν θλιβομένων παραμύθιον μέγα, χαῖρε, τῶν ἐν πολέμοις τὸ ἀήττητον ὅπλον.

Χαῖρε, Σταυρέ, Ἀγγέλων εὐπρέπεια, χαῖρε, Σταυρέ, πιστῶν ἡ ἀντίληψις

Χαῖρε, δι’ οὗ κατεπόθη ὁ Ἅδης, χαῖρε, δι’ οὗ ἐξανέστημεν πάντες.


Χαῖρε, Ξύλον μακάριον.

**Μεγαλυνάριον**

Ὅλος ἡλιόμορφος ὁ Σταυρός, φέγγει ἀπροσίτῳ, ἀναλάμψας ἐν τῇ Σιών, τὴν τοῦ Σταυρωθέντος, Ἀνάστασιν κηρύττει, δι’ ἧς ἐκ τῆς κακίας, πάντες ἀνέστημεν.

Οπτικοακουστικό Υλικό

Ακούστε το κοντάκιο!





**Πηγή:** saint.gr